UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Palladio & Maroni. 60.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

amiſit, nec fraudem deprehendet, his inquam omnibus verbis inciſis, ad filium detrectantem ac metuentem dixit, in me ſit, ô fili, iſta maledictio. Tantùm ne fabulam à me ſtructam labefactes: nec volucrem prædam amittas: nec huiuſmodi theſaurũ prodas. Cùm igitur mulier, quæ ne mulieris quidem fortitudinem animíque magnitudinem habebat, diris deuoueri non recuſarit, vt alius benedictionem obtineret, quid? an tantus ac talis Apoſtolus non idem perpeti optaſſet, vt Iudæi ad fidem accederent, nec Deus contumelioſis verbis configi videretur, vt qui, cùm aliis promiſiſſet, alios tamen ad tantum honoris gradum euexiſſet. Ac quidem certè non eò hæc dicebat, quòd re vera pollicitatio excidiſſet (dixit enim, non quòd promiſſio exciderit, ea nimirum, quæ ad patres facta eſt:) nam in eorum poſteris, qui fidem amplexi ſunt, & in Ethnicis qui per Baptiſmũ ad ſimilitudinem Iſaac acceſſerunt, euentum habuit. Idque etiam Apoſtolorum anteſignanus Petrus his verbis confirmat:
Act. 2. Hanc promiſſionem impleuit Deus ipſorũ filiis, hoc eſt nobis, ſuſcitato Ieſu. Quocirca, non tanquam promiſſio excidiſſet, his verbis vſus eſt: verùm vt effrenatum ſuum erga Chriſtum amorem demonſtraret. Ac ſi locum hunc Apoſtoli accuratè peruoluas, eum hoc confirmantẽ reperies.

θῇ· καὶ οὐ φωράσῃ τὸν δόλον. ταῦτα πάντα συντεμοῦσα, ἔφη τῷ παιδὶ ἀναδυομένῳ καὶ δεδοικότι, ἐπ' ἐμὲ ἡ κατάρα σου τέκνον. μόνον μὴ διαφθείρῃς τὸ κατασκευασθὲν παρ' ἐμοῦ δρᾶμα. μηδ' ἀπολέσῃς ὀξύτατον ὂν τὸ θήραμα, μηδὲ προδῷς τὸν θησαυρόν. εἰ τοίνυν γυνὴ, ἡ μηδὲ γυναικὸς ἔχουσα ἀνδρίαν μηδὲ μεγαλοψυχίαν, εἵλετο καταραθῆναι, ἵνα ἄλλος εὐλογηθῇ, ὁ τοσοῦτος καὶ τηλικοῦτος Ἀπόστολος οὐκ ἂν ηὔξατο τοιοῦτόν τι παθεῖν, ἵν' οἱ Ἰουδαῖοι πιστεύσωσι καὶ μὴ δόξῃ βλασφημεῖσθαι ὁ θεὸς, ὡς ἄλλοις μὲν ἐπαγγειλάμενος, ἄλλους δὲ εἰς τοσαύτην ἀξίαν ἀναγαγών. πάνυ μὲν οὖν ταῦτα ἔλεγεν, οὐχ ὡς τῷ ὄντι τῆς ἐπαγγελίας διαπεσούσης. ἔφη γὰρ, οὐχ οἷον δὲ ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ θεοῦ, ὁ πρὸς τοὺς πατέρας δηλονότι γεγενημένος. ἐξέβη γὰρ ἡ ἐπαγγελία ἐν τοῖς ἐξ αὐτῶν πιστεύσασι, καὶ ἐν τοῖς ὁμοίοις τῷ Ἰσαὰκ διὰ τοῦ βαπτίσματος ἐξ ἐθνῶν τεχθεῖσι. καὶ τοῦτ' ἐγγυᾶται καὶ ὁ τῶν ἀποστόλων κορυφαῖος Πέτρος, λέγων ταύτην τὴν ἐπαγγελίαν ἐκπεπλήρωκεν ὁ θεὸς τοῖς τέκνοις αὐτῶν ἡμῖν, ἀναστήσας Ἰησοῦν. οὐ τοίνυν, ὡς διαπεσούσης τῆς ἐπαγγελίας, τοῦτ' ἔφη, ἀλλ' ἵνα δείξῃ τὸν ἀκάθεκτον ἑαυτοῦ περὶ τὸν Χριστὸν πόθον. καὶ εἰ ἀκριβῶς διέλθοις τὸ χωρίον τὸ ἀποστολικὸν, τοῦτο αὐτὸν κα- αὐτοῖς
τασκευάζοντα θεάσῃς.

Zoſimo Presbytero. 59.

Audio te, iis, qui optima cõſilia tibi ſubminiſtrant, valere iuſſis, atque omnibus pudoris vinculis effractis, ad infame ac deteſtandum vitium præcipitem rapi. Ac velim quidem id minimè verum eſſe. Sin autem ita eſt, da operam, vt priuſquàm te huiuſmodi temulentia prorſus oppreſſerit, ex ea emergas: ne alioqui, & hic probrum atque infamiã, & illic pœnã ſubeas.

Ζωσίμῳ πρεσβυτέρῳ. νθ.

Πυνθάνομαι ὡς ἐρρῶσθαι φράσας τοῖς τὰ κάλλιστα συμβουλεύουσι, καὶ πάντας τοὺς τῆς αἰδοῦς διαρρήξας δεσμοὺς οἴχῃ φερόμενος ἐπὶ τὴν δυσκλέα καὶ δυσώνυμον κακίαν. βουλοίμην μὲν οὖν μὴ εἶναι ταῦτα ἀληθῆ. εἰ δ' ἐστι, σπούδασον πρὶν σφόδρα ὑπὸ τῆς τοιαύτης καταγωνισθῆναι μέθης ἀνενεγκεῖν, ἵνα μὴ κἀνταῦθα αἰσχύνην ἕξῃς, κἀκεῖσε δίκην ὑφέξεις.

Palladio & Maroni. 60.

Multus ſermo fluit, ac multorum fide di-

Παλλαδίῳ καὶ Μάρωνι. ξ.

Πολὺς λόγος ῥεῖ, καὶ δι' ἀξιοπίστων

προ-

προσώπων βεβαιοῦται, ὅτι μάλ' ἀκριβῶς ἐπιστάμενος ἐκ πολλῶν τεκμηρίων ὁ ἡγεῖσθαι ὑμῶν λαχὼν διὰ τὸ ἑαυτοῦ συμφέρον, οὐ διὰ τὸ λυσιτελοῦν ὑμῖν ἀγαπήσας, οὐχ ὅτι τῷ κοινῷ τῆς ἐκκλησίας συνοίσει σκεψάμενος, συνεργοὺς ὑμᾶς τῆς ἑαυτῆς ἐχειροτόνησε πλεονεξίας. εἰ τοίνυν ταῦθ' οὕτως ἔχει, παύσασθε εἰς οὐρανὸν τὰ τόξα τείνοντες, καὶ τῷ τῆς ἀκτημοσύνης πολεμοῦντες νομοθέτῃ, δι' ὧν τὰς ἀλλοτρίας πραγματεύεσθε συμφοράς.

ὑμᾶς ἀγαπήσοντας.

Ἀφροδισίῳ μονάζοντι. ξα.

Ὅτι τὸ μὲν ἐφ' ἑαυτοῖς ἀπολώλαμεν, τὸ δ' ἐπὶ τῷ Χριστῷ ἐσώθημεν, δῆλόν ἐστιν ἅπασι. δίκην γὰρ ὀφείλοντας διὰ τοῦ βαπτίσματος ἐδικαίωσε, καὶ οὐρανίοις χαρίσμασιν ἐκόσμησεν. ὅτι δὲ εἰ τὰ παρ' ἡμῶν μὴ ἕψοιτο, οὐδὲν ἐκ τῆς τοιαύτης πραγματείας, καὶ χάριτος κερδανοῦμεν, ἀλλὰ καὶ μείζονα δώσομεν δίκην, ἅτε μηδὲ τοσαύτῃ εὐεργεσίᾳ βελτιωθέντες, καὶ τοῦτο δῆλον.

Παύλῳ πρεσβυτέρῳ. ξβ.

Ἐγὼ μὲν εὐαγὲς ἡγοῦμαι, τὸ τοῖς θείοις πιστεύειν χρησμοῖς, καὶ τούτοις ἕπεσθαι μετὰ σπουδῆς, καὶ μὴ τὴν ἄκακον φιλοτιμίαν τῆς δεσποτικῆς ἀσφαλείας προκρίνειν. εἰ δέ τις ἑαυτῷ τοσαύτην μαρτυρήσειε σωφροσύνην, ὡς μηδὲ συνεχῶς ὁρῶν βλάπτεσθαι, μανθανέτω τῆς ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν, καὶ τῶν θείων χρησμῶν τὴν ἀσφάλειαν. τοὺς μὲν οὖν ἁλόντας, ἵνα μὴ δόξω διενοχλεῖν, παραλείψω· πᾶσαι γὰρ αἱ ἱεραὶ γραφαί, καὶ αἱ ἔξωθεν τραγῳδίαι, καὶ τὰ καθ' ἡμέραν δράματα τούτων γέμουσι τῶν παραδειγμάτων· τοὺς δὲ προμηθείᾳ τινὶ χρησαμένους καὶ περιγενομένους τοῦ πάθους. οὐ γὰρ ἔστιν ἀπραγμόνως κατορθῶσαι σωφροσύνην. τούτους εἰς μέσον ἀγαγεῖν πειράσομαι. εἰ μὲν οὖν τινὰς

ἄκαιρον.

fide dignorum hominum authoritate cõfirmatur, Antiſtitem noſtrum ex multis argumentis id compertiſſimum habẽtem, commodi ſui cauſa, non autem vtilitati noſtræ conſulentem, nec quid publicè profuturum eſſet, ſpectãtem, vos auaritiæ ſuæ ſocios & adiutores in ſacrum ordinem aſciuiſſe. Quòd ſi ita eſt, in cælũ iaculari ac, dum ex alienis calamitatibus commoda veſtra comparatis, paupertatis legiſlatori bellum indicere deſinite.

Aphrodiſio Monacho. 61.

Quòd quantum in nobis fuit, periimus, quantum autem in Chriſto, ſalutem conſecuti ſumus, omnibus perſpicuum eſt. Nam cùm ſupplicium mereremur, ipſe per Baptiſmum iuſtitia nos donauit, ac cæleſtibus gratiis auxit & exornauit. Quòd autem niſi ea, quæ noſtrarum partium ſunt, præſtiterimus, nihil ex huiuſmodi quęſtu & gratia cõmodi capiemus, imò grauioribus potius ſuppliciis afficiemur (vt quos tantũ beneficiũ nihilo meliores reddiderit) id quoque perſpicuũ eſt.

Paulo Presbytero. 62.

Equidem illud pium ac ſanctum eſſe exiſtimo diuinis oraculis fidem adhibere, eáque ſtudioſè ſequi, nec ſimplicem miniméque callidam ambitionem Dominicæ cautioni anteferre. Quòd ſi quis tantam ſibi ipſi pudicitiæ laudem arroget, vt ne continenter quidem fœminas continens quicquam inde detrimenti ferat, diſcat illæ humanæ naturæ imbecillitatem, ac diuinorum oraculorum cautionem ac præmunitionem. Atque eos quidem, qui capti ac ſubacti ſunt, ne grauis ac moleſtus eſſe videar, ſilentio prætermittam (nam & omnes ſacræ literæ, & externæ tragœdiæ, & quotidianæ fabulæ his exemplis refertę ſunt:) eos autem qui cura quadam & prouidentia vſi ſunt, atque hunc affectum ſuperarunt, (neque enim ſine labore ac negotio quiſquam pudicitiam conſequi po-